αυ, ει, ευ, οι, ου, κύριαι καλοῦνται· αἱ δὲ λοιπαὶ ἓξ ᾳ, ῃ, ῳ, υι, ηυ, ωυ, καλοῦνται καταχρηστικαί. Κύριαι μὲν, ὅτι δύο φωνήεντα ὁλοκλήρως ἐν ἑκάστῃ γράφονται· κἂν μὴ πᾶσαι ὁλοκλήρως προφέρονται. ἐναντίον μὲν οὖν τοῦ λόγου καὶ ὁρισμοῦ τῆς διφθόγγου.

## Σημείωσις.

Τρεῖς τῶν καταχρηστικῶν διφθόγγων υι, ηυ, ωυ, δυνάμεθα καὶ κυρίας καλέσαι· καὶ γὰρ ὁλοκλήρως γράφονται· ἀλλὰ διὰ τὴν κακοφωνίαν, καὶ τῆς προφορᾶς τραχύτητα καταχρηστικὰς ὠνομάσαμεν· ὃ καὶ ὁ Λάσκαρις τὴν ηυ, καὶ ωυ, ἐν ταῖς διφθόγγοις οὐδαμῶς ἀπαριθμεῖ. Τὴν ωυ, δίφθογγον εἶχον οἱ Ἴωνες· ἀντὶ γὰρ τοῦ αὐτός, ἐκεῖνοι ἔλεγον ὠυτός. ὠυ

Ἡ ηυ, δίφθογγος τόπον ἔχει τῆς ευ· τὸ γὰρ ε, μεταβάλλεται εἰς η, οἷον εὔχομαι, ὁ παρατατικὸς ηὐχόμην, ἀντὶ τοῦ εὐχόμην. Ἐν ταῖς προτέραις τρισὶ διφθόγγοις ᾳ, ῃ, ῳ, ἔκπαλαι τὸ ι, οὐχ ὑπεγράφετο, ἀλλὰ προσεγράφετο οὕτωσί αι, ηι, ωι. μετὰ δὲ ταῦτα ἡ χρῆσις κατέλιπε τοῦτο, ἔμεινεν ὅμως ἐν τοῖς κεφαλικοῖς μόνον γράμμασι ΑΙ, ΗΙ, ΩΙ.

# Περὶ συμφώνων.

Σύμφωνα λέγονται, διὰ τὸ συμφωνεῖν τοῖς ἑπτὰ φωνήεσιν, ἤγουν τὴν συλλαβὴν ἀποτελεῖν. Διπλάσια εἰσὶν ἄφωνά τε καὶ ἡμίφωνα. Τὰ δὲ ἄφωνα εἰσὶν ἐννέα· β, γ, δ, κ, π, τ, θ, φ, χ· τούτων τρεῖς εἰσὶν συγγένειαι, ἡ μὲν μία, καὶ α^η ἐστὶ γ, κ, χ· ἅτινα τρία σχηματίζονται ἐν τῷ λάρυγγι. ἡ δὲ β^α συγγένεια ἐστι, δ, θ, τ· καὶ ταῦτα σχηματίζονται ἐν τῷ οὐρανίσκῳ. ἡ δὲ γ^η συγγένεια ἐστι, β, π, φ· ἅτινα ἐν τοῖς χείλεσι σχηματίζονται.

Τούτων δὲ λέγονται ψιλὰ τρία κ, π, τ· τρία δασέα, ἤγουν

θ, φ, χ